θέντος, ἐκεῖ μετενεχθῆναι πρὸς τῶν ἐγγόνων αὐτοῦ τὰ ἱερά.
ποιήσασθαι δὲ τοὺς ἰλιεῖς. νεὼν τε καὶ ἄδυτον αὐτοῖς ἐπὶ τῆς
ἄκρας. καὶ φυλάττειν δι' ἐπιμελείας ἧς ἐδύναντο πλείστης. θε-
όπεμπτά τε ἡγουμένους, εἶναι, καὶ σωτηρίας κύρια τῇ πόλει.
ἁλισκομένης δὲ τῆς κάτω πόλεως, τὸν αἰνείαν κρατεροῦ,
τῆς ἄκρας γενόμενον, ἄραντα ἐκ τῶν ἀδύτων τάτε ἱερὰ
τῶν μεγάλων θεῶν, καὶ ὅπερ ἔτι περιῆν παλλάδιον, θάτερον
γὰρ ὀδυσσέα καὶ διομήδην, νύκτωρ εἰς ἴλιον ἀφικομένους, λα-
βεῖν. οἴχεσθαί τε κομίσαντα τὸν αἰνίαν, ἐκ τῆς πόλεως καὶ
ἐλθεῖν ἄγοντα εἰς ἰταλίαν. ἀρκτῖνος δὲ φησὶν ὑπὸ διὸς δο-
θῆναι δαρδάνῳ παλλάδιον ἕν. καὶ εἶναι τοῦτο ἐν ἰλίῳ τέως
ἡ πόλις ἡλίσκετο κεκρυμμένον ἐν ἀβάτῳ. εἰκόνα δὲ ἐκείνου
κατεσκευασμένην, μηδὲν τῆς ἀρχετύπου διαφέρειν, ἀπάτης
τῶν ἐπιβουλευόντων ἕνεκα ἐν φανερῷ τε θῆναι, καὶ αὐτὴν ἀ-
χαιοὺς ἐπιβουλεύσαντας λαβεῖν. τὰ μὲν οὖν εἰς ἰταλίαν ὑπ'
αἰνείου κομισθέντα ἱερὰ τοῖς εἰρημένοις ἀνδράσι. πειθόμενος
γράφω. τῶν τε μεγάλων θεῶν εἰκόνας εἶναι, οὓς σαμόθρα-
κες ἑλλήνων μάλιστα ὀργιάζουσι. καὶ τὸ μεμυθευμένον παλ-
λάδιον, ὅ φασι τὰς ἱερὰς φυλάττειν παρθένους ἐν ναῷ κεί-
μενον ἑστίας. ἔνθα καὶ τὸ ἀθάνατον διασώζεται πῦρ. ὑπὲρ
οὗ ἐν ὑστέρῳ λεχθήσεται λόγῳ. εἴη δ' ἂν καὶ παρὰ ταῦτα
τοῖς βεβήλοις ἡμῖν ἄδηλα ἕτερα. καὶ περὶ μὲν τῶν τρωϊ-
κῶν ἱερῶν τοσαῦτα εἰρήσθω :-

Τῶν ὀλυμπίων θεῶν τοὺς ταρταρίους διαφέρειν, τῷ τοὺς μὲν ὀ-
λυμπίους, τῶν ἐν τῷδε τῷ οὐρανῷ ἀθανάτων, παραγωγούς τε
εἶναι καὶ προστάτας. τοὺς δὲ ταρταρίους τῶν τῇδε θνητῶν προστα-
τεῖν. ὥστε καὶ κρόνον τῶν ταρταρίων, τῶν δ' αὐτῶν καὶ τιτάνων
κορυφαῖον ὄντα, καὶ σύμπαντος τοῦ θνητοῦ εἴδους προστατεῖν.
ἥραν δ' ἐν τοῖς ὀλυμπίοις τεταγμένην, δευτέραν μετὰ ποσει-
δῶ, ὕλης τῆς πρεσβυτάτης, ἀνωλέθρου καὶ αὐτῆς οὔσης, τῷ αὐ-
τῷ ποσειδῶνι ἐς τὰ ἔργα. παραγωγόν τε εἶναι καὶ προστάτην.
αὐτὸν δὲ ποσειδῶ, σύμπαντος εἴδους προστατεῖν καὶ ἀθανάτου καὶ
θνητοῦ. κορυφαῖον μὲν τῷ παντὶ ἐφεστῶτα. συντεταγμένον γε μὴν
καὶ αὐτὸν τοῖς ὅλοις. τὸν γάρ τοι δία μόνον τῷ ἐξαιρέτῳ τῆς θεότητος
καὶ τῷ παντὶ ἐξαίρετον ἐφεστάναι.



Ζωροαστρείων τε καὶ πλατωνικῶν δογμάτων συγκεφαλαίωσις.
vid. retro. [illegible]

http://digital.slub-dresden.de/ppn346357527/82